καὶ τῆς Ἰησοῦ νομοθεσίας ἐπάξιον καὶ φρονῶν καὶ λέγων, ἀνάξιον ἑαυτόν, ὡς ἀληθῶς, ἐπιγινώσκειν ἀποφαίνει τὸν ἀληθινοῦ θεοῦ. Σὺ δὲ ὅρα καὶ τὴν ἐφεξῆς. Ἀγαπήσεις τὸν πλησίον σου, ὡς σεαυτόν. Καὶ τί ταύτης ἂν εἴη λυσιτελέστερον ἢ ἀγαθοειδέστερον, ἢ τὸν βίον συνέχειν ἐπιτηδειότερον, ἢ τὸ κοινωνικὸν καὶ ἥμερον συγκροτεῖν τῆς φύσεως, ὡς τὸ ἀγαπᾶν τὸν πλησίον, ὡς ἑαυτόν, καὶ ἔργον τῆς αὐτῆς εἰδέναι χειρός, φύσεως δὲ μιᾶς, διὰ τῆς αὐτῆς δὲ γενέσεως εἰς φῶς προελθόντα, καὶ διὰ τῆς αὐτῆς ὁδοῦ τὸν βίον ἀπολιμπάνοντα, κριτὴν μὲν περιμένειν τὸν αὐτόν, καὶ τῶν βεβιωμένων ἐξεταστήν, καὶ πρό γε τούτων μηδὲν ἀνέχεσθαι πλημμελεῖν εἰς τὸν πέλας, ὧν οὐδεὶς ἑαυτὸν πλημμελεῖν ἂν ὠφθείη, τὰ κάλλιστα δὲ καὶ σωτήρια καὶ συνεύχεσθαι, καὶ οὐ παρέργως συγκαταπράττεσθαι; Τοῦτο γάρ ἐστιν ὁ τῆς ἀγάπης λόγος. Ἆρα οὐ δοκεῖ σοι τὰ μέγιστα καὶ καιριώτατα τῶν ἐν ἀνθρώποις ἐρωτήσω δέ, καὶ ὅσα ἐπὶ θεῖα καὶ θεοφιλῆ, διὰ ταύτης κατευθύνεσθαι τῆς ἐντολῆς; Οὐχ ἵσταται δὲ οὐδὲ μέχρι τούτων ὁ σωτήρ· ἀλλ', ἵνα πᾶσαν τῶν ἀσεβῶν διακόψῃ πρόφασιν, μηδὲ πρός τινα κακουργίαν ἀποβλέψωσιν, (ὡς αὕτη μόνη τῶν ἄλλων ἄρα ἡ δυὰς τῆς τιμώσης αὐτὴν δεσποτικῆς ἠξιώθη ψήφου, τῶν δ' ἄλλων λόγος ἐστὶν οὐδείς) ἵνα τοίνυν αὐτοῖς πανταχόθεν ἀποκλείσῃ τὴν τῆς πονηρίας μηχανήν, ὅρα, πῶς ἐπάγει· ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται. Μονονουχὶ λέγων· Ὡς οὖν αὗται τῆς ἐμῆς μετέχουσι δικαίας ἀποδοχῆς, καὶ κατ'

ἑαυ-